εἰς Ιερουσαλημ. [13]καὶ ἐνέπρησεν τὸν οἶκον κυρίου καὶ τὸν οἶκον 13
τοῦ βασιλέως καὶ πάσας τὰς οἰκίας τῆς πόλεως, καὶ πᾶσαν οἰκίαν
μεγάλην ἐνέπρησεν ἐν πυρί. [14]καὶ πᾶν τεῖχος Ιερουσαλημ κύκλῳ 14
καθεῖλεν ἡ δύναμις τῶν Χαλδαίων ἡ μετὰ τοῦ ἀρχιμαγείρου. [16]καὶ 16
τοὺς καταλοίπους τοῦ λαοῦ κατέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουρ-
γοὺς καὶ εἰς γεωργούς. [17]καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν 17
οἴκῳ κυρίου καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν
οἴκῳ κυρίου συνέτριψαν οἱ Χαλδαῖοι καὶ ἔλαβον τὸν χαλκὸν αὐτῶν
καὶ ἀπήνεγκαν εἰς Βαβυλῶνα. [18]καὶ τὴν στεφάνην καὶ τὰς φιάλας 18
καὶ τὰς κρεάγρας καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούρ-
γουν ἐν αὐτοῖς, [19]καὶ τὰ σαφφωθ καὶ τὰ μασμαρωθ καὶ τοὺς ὑπο- 19
χυτῆρας καὶ τὰς λυχνίας καὶ τὰς θυίσκας καὶ τοὺς κυάθους, ἃ ἦν
χρυσᾶ χρυσᾶ καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ, ἔλαβεν ὁ ἀρχιμάγειρος.
[20]καὶ οἱ στῦλοι δύο καὶ ἡ θάλασσα μία καὶ οἱ μόσχοι δώδεκα χαλ- 20
κοῖ ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν ὁ βασιλεὺς Σαλωμων εἰς
οἶκον κυρίου· οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτῶν. [21]καὶ οἱ στῦλοι, 21
τριάκοντα πέντε πηχῶν ὕψος τοῦ στύλου τοῦ ἑνός, καὶ σπαρτίον
δώδεκα πήχεων περιεκύκλου αὐτόν, καὶ τὸ πάχος αὐτοῦ δακτύλων
τεσσάρων κύκλῳ, [22]καὶ γεῖσος ἐπ᾽ αὐτοῖς χαλκοῦν, καὶ πέντε πή- 22
χεων τὸ μῆκος ὑπεροχὴ τοῦ γείσους τοῦ ἑνός, καὶ δίκτυον καὶ
ῥόαι ἐπὶ τοῦ γείσους κύκλῳ, τὰ πάντα χαλκᾶ· καὶ κατὰ ταῦτα τῷ
στύλῳ τῷ δευτέρῳ, ὀκτὼ ῥόαι τῷ πήχει τοῖς δώδεκα πήχεσιν.
[23]καὶ ἦσαν αἱ ῥόαι ἐνενήκοντα ἓξ τὸ ἓν μέρος, καὶ ἦσαν αἱ πᾶσαι 23
ῥόαι ἐπὶ τοῦ δικτύου κύκλῳ ἑκατόν. [24]καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος 24
τὸν ἱερέα τὸν πρῶτον καὶ τὸν ἱερέα τὸν δευτερεύοντα καὶ τοὺς
τρεῖς τοὺς φυλάττοντας τὴν ὁδὸν [25]καὶ εὐνοῦχον ἕνα, ὃς ἦν ἐπι- 25
στάτης τῶν ἀνδρῶν τῶν πολεμιστῶν, καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς
τοὺς ἐν προσώπῳ τοῦ βασιλέως τοὺς εὑρεθέντας ἐν τῇ πόλει καὶ
τὸν γραμματέα τῶν δυνάμεων τὸν γραμματεύοντα τῷ λαῷ τῆς γῆς
καὶ ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς τοὺς εὑρεθέντας ἐν
μέσῳ τῆς πόλεως· [26]καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδαν ὁ ἀρχιμά- 26
γειρος καὶ ἤγαγεν αὐτοὺς πρὸς βασιλέα Βαβυλῶνος εἰς Δεβλαθα,

14 ιερουσ.] pr. εν A | η ult. > S || 16 καταλοιπους] κατα > S | αμπελ. ... γεωργους] tr. S† || 17 οικω κυριου $1^0 \frown 2^0$ A | αυτων] -της S† || 19 τα bis (cf. Regn. IV 25 16)] $1^0$ τας S†, $2^0$ τας S*A | και $3^0 \frown 5^0$ S† || 20 ο > S† | αυτων] -του S 393† || 21 περικυκλοι S*†, περικυκλουν A† | παχος] πλατος S† | δακτυλων τεσσ.] tr. A || 22 του $3^0$ > A† | και ult. > S | κατα ταυτα(i. e. ταῦτα uel ταὐτά)] κατα τα αυτα *L*: = Regn. IV 25 17; κατα αυτα A† || 23 το > B*† | επι τ. δικτ. κυκλω / εκατον] tr. BA = 𝔐 || 24 πρωτον] δευτερον S*† | δευτερευοντα] -ρουντα AB$^c$, -ροντα B*† | φυλαττοντας B pau.] σσ pro ττ rel.: cf. 31 et Thack. p. 123 || 25 και $1^0$ BS pau.] + εκ της πολεως ελαβεν rel. = 𝔐 | των $1^0$ > B*L*: cf. 𝔐 | τους $1^0$ > S || 26 βασιλεα] pr. τον A*L*